February 14 - **Matthew 13:1-9**
**The Parable of the Sower**

| Greek | English |
|---|---|
| 1 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν· | 1 On that day Jesus went out of the house, and sat by the seaside. |
| 2 καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι, καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν ἱστήκει. | 2 Great multitudes gathered to him, so that he entered into a boat, and sat, and all the multitude stood on the beach. |
| 3 καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς λέγων Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν. | 3 He spoke to them many things in parables, saying, “Behold, a farmer went out to sow. |
| 4 καὶ ἐν τῷ σπείρειν αὐτὸν ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ ἐλθόντα τὰ πετεινὰ κατέφαγεν αὐτά. | 4 As he sowed, some seeds fell by the roadside, and the birds came and devoured them. |
| 5 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη ὅπου οὐκ εἶχεν γῆν πολλήν, καὶ εὐθέως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς, | 5 Others fell on rocky ground, where they didn’t have much soil, and immediately they sprang up, because they had no depth of earth. |
| 6 ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. | 6 When the sun had risen, they were scorched. Because they had no root, they withered away. |
| 7 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἔπνιξαν αὐτά. | 7 Others fell among thorns. The thorns grew up and choked them: |
| 8 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπόν, ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. | 8 and others fell on good soil, and yielded fruit: some one hundred times as much, some sixty, and some thirty. |
| 9 Ὁ ἔχων ὦτα ἀκουέτω. | 9 He who has ears to hear, let him hear.” |




English text: World English Bible (public domain)
Greek text: Westcott-Hort Greek New Testament (public domain)
Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org

